# Modi dei prouidentiae

## Τρόποι τῆς τοῦ Θεοῦ προνοίας

Πάντα ἐκ Θεοῦ, καὶ τὰ ἀγαθὰ καὶ τὰ λυπηρὰ καὶ τὰ ἀνάξια. Ἀλλὰ τὰ μὲν εὐδοκίᾳ, τὰ δὲ οἰκονομίᾳ, τὰ δὲ παραχωρήσει. Καὶ κατ' εὐδοκίαν μέν, ὅταν κατ' ἀρετὴν πολιτευώμεθα· βούλεται γὰρ ὁ Θεὸς ἀναμαρτήτους διάγειν ἡμᾶς, καὶ μετ' εὐσεβείας καὶ ἀρετῆς πολιτεύεσθαι. Κατ' οἰκονομίαν δέ, ὅταν σφαλλόμενοι καὶ ἁμαρτάνοντες παιδευώμεθα. Κατὰ παραχώρησιν δέ, ὅταν μηδὲ παιδευόμενοι ἐπιστρέφωμεν. Εὐδόκησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον σωθῆναι, καθὼς καὶ οἱ Ἄγγελοι ἐβόων, λέγοντες· δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Οἰκονομικῶς πάλιν παιδεύει ὁ Θεὸς ἡμᾶς ἁμαρτάνοντας, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, ὡς φησὶν ὁ Ἀπόστολος· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Καί, οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ Κύριος οὐκ ἐποίησε· τουτέστι λιμοὺς καὶ λοιμούς, νόσους καὶ σφαγὰς πολέμων· ταῦτα γὰρ πάντα τῆς ἁμαρτίας εἰσὶν ἀναιρετικά. Παραχωρεῖ καὶ τελείως ἐγκαταλιμπάνει τοὺς μὴ θέλοντας ἢ ἀναμαρτήτους διάγειν ἢ παιδευομένους μὴ ἐπιστρέφεσθαι, ἀλλ' ἐπὶ τῇ κακίᾳ ἐμμένειν, καθὼς γέγραπται, ὅτι τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς ὁ Θεὸς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, καὶ παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα· τουτέστιν εἴασε διὰ τὸ αὐτεξούσιον. Καί, σκληρύνων σκληρυνῶ τὴν καρδίαν Φαραώ· τουτέστι παραχωρήσω σκληρωθῆναι διὰ τὴν ἀπείθειαν αὐτοῦ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.